## Fragmentum in Psalmum 1.5

Κυρίλλου. Ἕπεται δέ τις αὐτοῖς ἐσθ' ὅτε καὶ οἰκτιρμὸς ὡς μὴ ταῖς ἴσαις τοῖς ἀσεβέσιν κολάσεσιν περιπεσεῖν. Οὐκοῦν ἀναβιώσονται μὲν καὶ οὗτοι, πλὴν οὐκ ἐν βουλῇ δικαίων, βουλὴν δὲ δικαίων φησίν, οἷον τὴν τάξιν καὶ τὸ ἀξίωμα. εἰ γὰρ καὶ εἶέν τινες τῶν ἡμαρτηκότων ἢ ἐλέους ἢ συγγνώμης ἄξιοι, οὐκ ἂν τοῖς τῶν ἁγίων ἐναριθμηθεῖεν χοροῖς, ἕτερος γὰρ ἐκείνων κλῆρος. καὶ ἀνεστηκότα τὰ αὐχήματα, καὶ περίαπτος ἡ χάρις καὶ ἀτελεύτητος ἡ τρυφή. τετρυγήκασι γὰρ καρπὸν ἀνδραγαθημάτων καὶ τῆς εἰς πᾶν ὅ τι οὖν τῶν ἀγαθῶν εὐανδρείας καταπλουτοῦσιν τὰς ἀμοιβάς, Χριστοῦ λέγοντος αὐτοῖς· Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου· κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου.

## Fragmentum in Psalmum 2.7

Κύριος εἶπεν πρός με Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε. Ὁ μόνος εἰδὼς τὸν Πατέρα καὶ ὑπὸ μόνου γινωσκόμενος τοῦ Πατρός, ἡ σοφία καὶ ὁ λόγος αὐτοῦ, ὁ τῆς μεγάλης βουλῆς ἄγγελος, τῆς μετὰ σαρκὸς οἰκονομίας ἡμῖν τὸ μυστήριον εὖ μάλα διατρανοῖ. υἱὸς γὰρ ὢν φύσει καὶ ἀληθῶς, καὶ ἐξ αὐτῆς ἀναλάμψας τῆς οὐσίας τοῦ Θεοῦ καὶ Πατρός, γέγονε σάρξ, τουτέστιν ἄνθρωπος, καὶ τὴν κατὰ σάρκα μεθ' ἡμῶν ὑπέστη γέννησιν, καίτοι προαιώνιος ὢν καὶ ἀεὶ συνυφεστηκὼς τῷ γεγεννηκότι. πλὴν εἰ καὶ γέγονε σάρξ, ἴδιον ὄντα υἱὸν οἶδεν αὐτὸν καὶ οὕτως ὁ Πατήρ, ἔφη γάρ Κύριος εἶπε πρός με· Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε.

Ὁρᾷς ἐν ἀρχῇ τὴν ὁμολογίαν, ἤγουν τὴν ἀνάρρησιν· τὸ μὲν γὰρ εἶ τέθεικεν, ἵνα δείξῃ τὸ προαιώνιον· οὐ γὰρ ἐν χρόνῳ γέγονεν, ἀλλ' ἦν ἀεὶ τοῦτο, τουτέστιν υἱός. ἐπήνεγκε δὲ τό Σήμερον ἐγέννησά σε, ἵνα τὴν νεωτάτην αὐτοῦ καὶ κατὰ σάρκα δείξῃ γέννησιν, ἣν ὑπέμεινεν ἑκὼν διὰ τῆς ἁγίας Παρθένου. ταύτῃ τοι καὶ Θεοτόκος ὠνόμασται· τέτοκε γὰρ οὐκ ἄνθρωπον ἁπλῶς κατά γε τὴν ἔξωθεν σχέσιν συναφθέντα τῷ Θεῷ, αὐτὸν δὲ μᾶλλον τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον τὴν ἀνθρώπειαν ὑποδύντα πτωχείαν καὶ γενόμενον καθ' ἡμᾶς ἄνθρωπον. ταύτην ὁμολογοῦντες τὴν πίστιν βεβαπτίσμεθα, καὶ οὐκ ἀρνησόμεθα τὸν αἵματι τῷ ἰδίῳ πριάμενον ἡμᾶς δεσπότην. Οὐκοῦν ὅταν λέγῃ τὸν ἀεὶ ὄντα καὶ ἐξ αὐτοῦ προαιώνιον Υἱὸν γεννῆσαι σήμερον ὁ Πατήρ, τοῦ σήμερον ἐνεστηκότα καιρὸν σημαίνοντος ἤτοι τὸν τῆς ἐνανθρωπήσεως, ἐκεῖνο περινοήσωμεν, ὅτι καὶ σάρκα γεγονότα, τουτέστιν ἄνθρωπον, τὸν ἴδιον υἱὸν διωμολόγηκεν ὁ ςπατήρ, οἰκειοῦται δὲ ὥσπερ καὶ τὴν δευτέραν αὐτοῦ κατὰ σάρκα γέννησιν. οὐ γὰρ ὅτι γέγονεν ἄνθρωπος, ἀπέστη τοὺ εἶναι κατὰ φύσιν υἱὸς τοὺ Θεοῦ καὶ Πατρός, μεμένηκε δὲ καὶ οὕτως υἱὸς καὶ ἐν τοῖς ἐμφύτοις ἀξιώμασιν, εἰ καὶ πλούσιος ὢν ἐπτώχευσε δι' ἡμᾶς.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.